e | rara

www.e-rara.ch

# Diodori Siculi bibliothecae historicae quae supersunt

**Diodorus**

**Lipsiae, [17--]**

**ETH-Bibliothek Zürich**

Shelf Mark: Rar 8145

Persistent Link: https://doi.org/10.3931/e-rara-33647

Inhaltsverzeichnis

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ
## ΕΝ ΤΗι ΟΚΤΩΚΑΙΔΕΚΑΤΗι
# ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ

Ἡ γενομενη ταραχὴ καὶ στάσις, μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, ἐν ταῖς δυνάμεσι.
Περδίκκου παράληψις τῆς κατὰ τὴν βασιλείαν ἐπιμελείας, καὶ διαίρεσις τῶν σατραπειῶν.
Ἀπόστασις τῶν ἐν ταῖς ἄνω σατραπείαις Ἑλλήνων; καὶ ἀποστολὴ στρατηγοῦ Πύθωνος ἐπ᾽ αὐτούς.
Ἀπαγγελία τῆς κατὰ τὴν Ἀσίαν θέσεως, καὶ τῶν ἐν αὐτῇ σατραπειῶν.
Ὡς Πύθων κατεπολέμησε τοὺς ἀποστάντας Ἕλληνας.
Ὡς Ἀθηναῖοι πόλεμον ἐξήνεγκαν πρὸς Ἀντίπατρον, τὸν ὀνομασθέντα Λαμιακόν.
Ὡς Λεωσθένης, ἀναδειχθεὶς στρατηγὸς, καὶ συστησάμενος δύναμιν, ἐνίκησε μάχῃ τὸν Ἀντίπατρον, καὶ συνέκλεισεν εἰς πόλιν Λαμίαν.
Λεωσθένους τοῦ στρατηγοῦ τελευτὴ, καὶ ἐπιτάφιος.
Παράληψις τῶν σατραπειῶν ὑπὸ τῶν μεμερισμένων αὐτάς.

Ἱππομαχία τῶν Ἑλλήνων πρὸς Λεοννάτον, καὶ νίκη τῶν Ἑλλήνων.
Ὡς Ἀντίπατρος, Λεοννάτου σφαγέντος ἐν τῇ μάχῃ, παρέλαβε τὴν Λεοννάτου δύναμιν.
Ὡς Κλεῖτος ὁ τῶν Μακεδόνων ναύαρχος ἐνίκησε δυσὶν ναυμαχίαις τοὺς Ἕλληνας.
Ὡς Περδίκκας Ἀριαράθην τὸν βασιλέα παρατάξει μεγάλῃ νικήσας, ἐζώγρησε τὸν βασιλέα, μετὰ καὶ πολλῶν ἄλλων.
Ὡς Κρατερὸς βοηθήσας Ἀντιπάτρῳ, ἐνίκησε τοὺς Ἕλληνας, καὶ κατέλυσε τὸν Λαμιακὸν πόλεμον.
Περὶ τῶν ὑπ' Ἀντιπάτρου πραχθέντων πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας.
Περὶ τῶν πραχθέντων ἐν τῷ κατὰ Κυρήνην τόπῳ Πτολεμαίῳ.
Ὡς Περδίκκας ἐμβαλὼν εἰς τὴν Πισιδίαν, Λαρανδεῖς μὲν ἐξηνδραποδίσατο, Ἰσαυρεῖς δὲ πολιορκήσας ἠνάγκασεν ἑαυτούς τε κατασφάξαι, καὶ τὴν πόλιν ἐμπρῆσαι.
Ἀντιπάτρου καὶ Κρατεροῦ στρατεία εἰς Αἰτωλίαν.
Κατακομιδὴ τοῦ Ἀλεξάνδρου σώματος ἐκ Βαβυλῶνος εἰς Ἀλεξάνδρειαν, καὶ τῆς κατὰ τὴν ἁρμάμαξαν πολυτελείας ἀπαγγελία.
Ὡς Εὐμένης παρατάξει νικήσας Κρατερὸν, κατέσφαξεν ἐν τῇ μάχῃ καὶ Νεοπτόλεμον.
Ὡς Περδίκκας εἰς Αἴγυπτον στρατεύσας ὑπὸ τῶν φίλων ἀνῃρέθη.
Ὡς τῶν βασιλέων ἐπιμελητὴς ᾑρέθη Πύθων, καὶ μετ' αὐτοῦ Ἀῤῥιδαῖος, ὕστερον δ' Ἀντίπατρος.

Ὡς Ἀντίπατρος ἡγεμὼν κατασταθεὶς τῶν ὅλων ἐπεμερίσατο τὰς σατραπείας ἐξ ἀρχῆς ἔν τινι παραδείσῳ τῆς Συρίας.

Ὡς Ἀντίγονος ὑπ' Ἀντιπάτρου κατασταθεὶς στρατηγὸς κατεπολέμησε τὸν Εὐμένη.

Περὶ Εὐμένους καὶ τῶν περὶ αὐτὸν γενομένων παραδόξων μεταβολῶν.

Ὡς Πτολεμαῖος τήν τε Φοινίκην καὶ τὴν κοίλην Συρίαν προσεκτήσατο.

Ὡς Ἀντίγονος Ἀλκέταν ἐνίκησεν ἐπιφανεῖ παρατάξει.

Ἀντιπάτρου θάνατος, καὶ τῆς βασιλικῆς δυνάμεως παράληψις ὑπὸ Πολυσπέρχοντος.

Ὡς Ἀντίγονος μετεωρισθεὶς ἐπί τε τῇ Ἀντιπάτρου τελευτῇ καὶ τοῖς ὑφ' αὐτοῦ κατειργασμένοις, ἀντεποιήσατο τῆς βασιλείας.

Εὐμένους αὔξησις παράδοξος, καὶ παράληψις τῆς τε τῶν βασιλέων ἐπιμελείας, καὶ τῆς Μακεδονικῆς δυνάμεως.

Κασσάνδρου αὔξησις, καὶ πόλεμος πρὸς Πολυσπέρχοντα τὸν ἐπιμελητὴν τῶν βασιλέων, καὶ κοινοπραγία πρὸς Ἀντίγονον.

Ὡς Εὐμένης ἐν Κιλικίᾳ τοὺς Ἀργυράσπιδας παραλαβὼν εἰς τὰς ἄνω σατραπείας ἀπῆλθε, καὶ δύναμιν ἀξιόλογον παρεσκευάσατο.

Περὶ τῆς Εὐμένους ἀγχινοίας καὶ στρατηγίας, καὶ τῶν ὑπ' αὐτοῦ πραχθέντων μέχρι τῆς τελευτῆς.

Τὰ συμβάντα περὶ Κάσσανδρον κατὰ τὴν Ἀττικὴν, καὶ Νικάνορα τὸν φρουροῦντα τὴν Μουνυχίαν.

Φωκίωνος τοῦ χρηστοῦ προσαγορευθέντος θάνατος.

Ὡς Πολυσπέρχων Μεγαλοπολίτας πολιορκήσας, καὶ πολλὰ παθὼν καὶ δράσας, ἄπρακτος ἐπανῆλθεν.

Ὡς Κλεῖτος ὁ Πολυσπέρχοντος ναύαρχος ἐνίκησε ναυμαχίᾳ Νικάνορα τὸν Κασσάνδρου ναύαρχον.

Ὡς Ἀντίγονος ἐπιφανῶς νικήσας ναυμαχίᾳ τὸν Κλεῖτον, ἐθαλαττοκράτησεν.

Ὡς Εὐμένης ὑπὸ Σελεύκου περὶ τὴν Βαβυλῶνα συγκλεισθεὶς εἰς τοὺς ἐσχάτους κινδύνους, ἐσώθη διὰ τὴν ἰδίαν ἀγχίνοιαν.

Ὡς Πολυσπέρχων, καταφρονηθεὶς ὑπὸ τῶν Ἑλλήνων, καὶ ταπεινωθεὶς, διεπολέμει πρὸς Κάσσανδρον.